ἐπαρρησιάζοντο παρεκελεύοντο μύθους καὶ παροιμίας ἐπέραινον, ἔτι δ' ὕμνους θεῶν ⟨κατ⟩ευχὰς παιᾶνας ἐν μέτροις ἐποιοῦντο καὶ μέλεσιν οἱ μὲν δι' εὐφυΐαν οἱ δὲ διὰ συνήθειαν. οὐκοῦν οὐδὲ μαντικῇ κόσμου καὶ χάριτος ἐφθόνει D ὁ θεὸς οὐδ' ἀπήλαυνεν ἐνθένδε ⟨τὴν⟩ τιμωμένην μοῦσαν τοῦ τρίποδος, ἀλλ' ἐπήγετο μᾶλλον ἐγείρων τὰς ποιητικὰς ⟨καὶ⟩ ἀσπαζόμενος φύσεις, αὐτός τε φαντασίας ἐνεδίδου καὶ συνεξώρμα τὸ σοβαρὸν καὶ λόγιον ὡς ἁρμόττον καὶ θαυμαζόμενον. ἐπεὶ δὲ τοῦ βίου μεταβολὴν ἅμα ταῖς τύχαις καὶ ταῖς φύσεσι λαμβάνοντος ἐξωθοῦσα τὸ περιττὸν ἡ χρεία κρωβύλους τε χρυσοῦς ἀφῄρει καὶ ξυστίδας μαλακὰς ἀπημφίαζε καί που καὶ κόμην σοβαρωτέραν ἀπέκειρε καὶ ὑπέλυσε κόθορνον οὐ φαύλως ἐθιζομένων ἀντικαλλωπίζεσθαι πρὸς τὴν πολυτέλειαν εὐτελείᾳ καὶ τὸ E ἀφελὲς καὶ λιτὸν ἐν κόσμῳ τίθεσθαι μᾶλλον ἢ τὸ σοβαρὸν καὶ περίεργον, οὕτω τοῦ λόγου συμμεταβάλλοντος ἅμα καὶ συναπολυομένου κατέβη μὲν ἀπὸ τῶν μέτρων ὥσπερ ὀχημάτων ἡ ἱστορία καὶ τῷ πεζῷ μάλιστα τοῦ μυθώδους ἀπεκρίθη τὸ ἀληθές, φιλοσοφία δὲ τὸ σαφὲς καὶ διδασκαλικὸν ἀσπασαμένη μᾶλλον ἢ τὸ ἐκπλῆττον διὰ λόγων ἐποιεῖτο τὴν ζήτησιν, ἀπέπαυσε δὲ τὴν Πυθίαν ὁ θεός 'πυρικάους' μὲν ὀνομάζουσαν τοὺς αὑτῆς πολίτας, 'ὀφιοβόρους' δὲ τοὺς Σπαρτιάτας, 'ὀρεᾶνας' δὲ τοὺς ἄνδρας, 'ὀρεμπότας' δὲ τοὺς ποταμούς· ἀφελὼν δὲ τῶν χρησμῶν F ἔπη καὶ γλώσσας καὶ περιφράσεις καὶ ἀσάφειαν οὕτω διαλέγεσθαι παρεσκεύασε τοῖς χρωμένοις ὡς νόμοι τε πόλεσι διαλέγονται καὶ βασιλεῖς ἐντυγχάνουσι δήμοις καὶ